# Greek Notebook – I John 5:10-14

10 ὁ πιστεύων εἰς τὸν υἱὸν τοῦ θεοῦ

ἔχει τὴν μαρτυρίαν ἐν ἑαυτῷ, ὁ μὴ

πιστεύων τῷ θεῷ ψεύστην πεποίηκεν αὐτόν,

ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν ἣν

μεμαρτύρηκεν ὁ θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ.

11 καὶ αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν

αἰώνιον ἔδωκεν ἡμῖν ὁ θεός, καὶ αὕτη

ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστιν.

12 ὁ ἔχων τὸν υἱὸν ἔχει τὴν ζωήν· ὁ
μὴ ἔχων τὸν υἱὸν τοῦ θεοῦ τὴν ζωὴν
οὐκ ἔχει. 13 Ταῦτα ἔγραψα ὑμῖν ἵνα εἰδῆτε ὅτι
ζωὴν ἔχετε αἰώνιον, τοῖς πιστεύουσιν εἰς τὸ
ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ. 14 καὶ αὕτη ἐστὶν
ἡ παρρησία ἣν ἔχομεν πρὸς αὐτόν ὅτι
ἐάν τι αἰτώμεθα κατὰ τὸ θέλημα αὐτοῦ
ἀκούει ἡμῶν.